UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Ioannis Can||tacvzeni Constantinopo-||litani Regis Contra Mahometicam || fidem Christiana & orthodoxa assertio

**Johannes**

**Basileae, 1543**

**VD16 VD16 J 376**

Κατα Του Μωαμεθ Λογος Τριτος.

urn:nbn:de:hbz:466:1-98189

Visual Library

# ΚΑΤΑ ΤΟΥ ΜΩΑΜΕΘ

## ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

ΕΠΕΙΔΗ περὶ τινῶν τοῦ μωάμεθ ἀτοπημάτων φθάσαντες εἴπομεν, φέ-
ρε δὴ σκεψώμεθα, ὁποῖά ποτε καὶ περὶ τοῦ σωτῆρος χριστοῦ τοῦ ἀληθινοῦ
θεοῦ ἡμῶν ὁ δείλαιος οὗτος φρονεῖ καὶ διδάσκει. ὄντως γὰρ ἀλήθεια
ὄντως τὸ, εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι θεός. οὗτος ἀρνεῖται μὲν
τὴν τριάδα, ὁμολογεῖ δὲ θεὸν ποιητὴν οὐρανοῦ καὶ γῆς, ἀγγέλων τε καὶ
ἀνθρώπων καὶ πάσης κτίσεως, υἱὸν μὴ ἔχοντα.

Επεὶ μὴ δὲ γεννηθῆναι ἐστὶ δυνατὸν ἄνευ γυναικός, αἱρετικῷ καρποκράτῃ ἀκολουθῶν, α
σαρκικὴν εἶναι νομίσας τὴν τοῦ θεοῦ γέννησιν. καὶ διὰ τοῦτο καὶ χάσματι μέσον πατρὸς καὶ υἱοῦ δυνά-
σθαι εἶναι ἐνόμισεν. εἰ γὰρ τὸν θεὸν ἀδύνατόν ἐστιν υἱὸν ἔχειν ἄνευ γυναικός, λεγέτωσαν αὐτὸν μὴ
δὲ ποιητὴν καὶ δημιουργὸν, καὶ κτίστην εἶναι ἄνευ προϋποκειμένης ὕλης, ὡς οἱ ἄφρονες ἕλλη-
νες ἐδογμάτισαν.

Εἰ δὲ καὶ υἱὸν εἶχεν ὁ θεός, καὶ χάσματα ἂν ἐγγένοντο μέσον αὐτῶν, ὥς φησιν ἐν τῷ κεφαλαίῳ β
τῷ ἐλμωνιέμ, ἰουδαίοις, καὶ αὐτῷ τῷ καρποκράτῃ ἀκολουθῶν. ἡμεῖς δὲ, οὗ περὶ τούτου μερικῶς
φθάσαντες εἴπομεν ἐν τῇ ἀπολογίᾳ. διὸ οὐκ ἔχομεν σκοπὸν αὖθις εἰπεῖν πεπλατυσμένως, ὡς
εἴρηται. ἐπεὶ δὲ κατὰ τὸ πρῶτον τρανῶς αὐτῷ ἀντιλέγομεν, ἀκουέτωσαν οἱ τοῦ μωάμεθ ἀκόλουθοι.
οὗτος ὁ μωάμεθ τὸν χριστὸν οὔτε θεὸν φρονεῖ, οὔτε υἱὸν θεοῦ, ψιλὸν δ᾽ ἄνθρωπον ὡς τοὺς πάντας
ἀνθρώπους καὶ ἅγιον, καὶ ὑπὲρ ἅπαντα ἄνθρωπον ἀσυγκρίτως, νεστορίῳ ἀκολουθῶν.

Εν δὲ τῷ κεφαλαίῳ τῷ ἐλνεσᾶ, ὅπερ ἑρμηνεύεται γυναῖκες, οὑτωσί φησιν, ὅτι ὁ χριστὸς ὁ γ
ἰησοῦς, ὁ υἱὸς τῆς μαρίας, λόγος θεοῦ ἐστὶ καὶ ψυχὴ θεοῦ, καὶ πνοὴ θεοῦ. ἀρξώμεθα τοίνυν ἀπὸ τῆς αὐτοῦ
μωάμεθ ὁμολογίας. εἰ μὲν οὖν, ὥσπερ εἰς τοὺς προφήτας ἐγένετο λόγος θεοῦ, καὶ οἱ προφῆται τοῦτον
τοῖς ἀνθρώποις ἐλάλησαν, οὕτως καὶ ὁ χριστὸς δεξάμενος τὸν τοῦ θεοῦ λόγον, τοῖς ἀνθρώποις ἐδί-
δαξε, καὶ διὰ τοῦτο ὀνομάζεται καὶ προφήτης, ὡς ὁ μωάμεθ καλεῖ, καὶ μέγιστος πάντων, καὶ
τούτου ἕνεκα λόγος θεοῦ ὀνομάζεται, πῶς οὐδεὶς τῶν προφητῶν λόγος θεοῦ ὠνομάσθη ποτέ, ἀλλ᾽
ἕκαστος ἀπὸ τοῦ ἰδίου ὀνόματος ἔχει τὴν σημασίαν; εἰ δὲ τοῦτο μὲν οὐκ ἔστιν, ἀλλ᾽ ὡς δῆθεν ἐλθὼν
ὁ ἀρχάγγελος, εἶπε τῇ κεχαριτωμένῃ παρθένῳ μαρίᾳ τὸν εὐαγγελισμόν, καὶ διὰ τοῦτο λόγος θεοῦ ὁ
χριστὸς ὀνομάζεται, ἔδει λοιπὸν καὶ τὸν τοῦ μανωὲ υἱὸν τὸν σαμψὼν λόγον θεοῦ ὀνομάζεσθαι. ἐπεὶ κἀ-
κεῖνος διὰ ἐπαγγελίας θεοῦ ἐγεννήθη. ἄγγελος γὰρ ἐλθὼν ἐδήλωσε τὴν τούτου γέννησιν.
ἀλλὰ καὶ τὸν τοῦ ζαχαρίου υἱὸν ἰωάννην καὶ αὐτὸν ὁμοίως διὰ ἐπαγγελίας γεννηθέντα, λόγον ὀνο-
μασθῆναι, διὰ τὸ λαληθῆναι τῷ ζαχαρίᾳ διὰ ἀγγέλου τὴν τούτου γέννησιν. ἐπεὶ οὖν οὔτε προ-
φήτης ὠνομάσθη ποτὲ λόγος θεοῦ, ἀλλ᾽ οὐδέ τις διὰ ἐπαγγελίας γεννηθείς, ἄρα οὐδ᾽ ὁ χριστὸς
ὠνομάσθη λόγος θεοῦ, διὰ τὸ τὸν ἄγγελον λαλῆσαι τῇ παρθένῳ μαρίᾳ τὸν ἀσπασμόν, ἢ τὸ τὴν βα-
σιλείαν τοῦ θεοῦ εὐαγγελίσασθαι τὸν χριστόν, ἀλλ᾽ ἑτέρῳ τινὶ λόγῳ, ὃν οὐκ οἶδεν ὁ μωάμεθ. εἰ γὰρ
ᾔδει αὐτόν, οὐκ ἂν ἐβλασφήμει. ἀκούσας γὰρ παρὰ τῆς γραφῆς λόγον θεοῦ εἶναι τὸν χριστόν, τὸ μὲν
ῥητὸν ὡμολόγησε, τὴν δέ γε δύναμιν τούτου οὐκ ἐδέξατο, οὐδὲ θεὸν αὐτὸν ὡμολόγησε,
μήποτε δύο θεοὺς προσκυνῶν εὑρεθῇ. καὶ ἰδοὺ ἐδειλίασε φόβον, οὗ οὐκ ἦν φόβος. οὐ γὰρ
συνῄδει διάκρισιν ὑποστάσεων, εἰ μὴ καὶ τὴν οὐσίαν. λόγος γὰρ ὁ χριστὸς ὀνομάζεται καὶ
ὑμνεῖται, οὐ μόνον ὅτι καὶ νοῦ καὶ λόγου καὶ σοφίας ἐστὶ χορηγός, ἀλλ᾽ ὅτι καὶ τὰς πάντων
αἰτίας, τουτέστι τὰ παραδείγματα, ἅτινα καὶ ἰδέας καλοῦσιν, ἤγουν τὰς ἀϊδίους νοήσεις
ἐν ἑαυτῷ μονοειδῶς προείληφεν, ὅτι διὰ αὐτοῦ τὸν λόγον ἔχουσι τὸ λογικοὶ εἶναι, οἵ τε ἄγγελοι
καὶ ἄνθρωποι, καὶ ὅτι διὰ πάντων χωρεῖ διηκνούμενος, ὡς τὰ λόγιά φασιν, ἄχρι τοῦ
πάντων τέλους. καὶ πρόγε τούτων, ὅτι πάσης ἁπλότητος ὁ θεῖος ὑπερήπλωται λό-
γος, καὶ πάντων ἐστὶν ὑπὲρ πάντα κατὰ τὸ ὑπερούσιον ἀπολελυμένος. ἐπεὶ γάρ, ὡς
εἴρηται, οὔτε ὡς προφήτης ὀνομάζεται λόγος, οὔτε ὡς διὰ ἐπαγγελίας, τρανῶς ἤδη
ἀναφαίνεται, ὅτι ὡς φυσικὸς λόγος τοῦ θεοῦ λέγεται καὶ ἔστιν ὁ χριστός. καὶ διὰ τοῦτο υἱὸς θεοῦ καὶ
λέγεται καὶ ἐστίν. ὡς γὰρ ὁ λόγος νοῦ γέννημα ἐστίν, οὕτω καὶ ὁ χριστὸς ἀχρόνως καὶ ἀπαθῶς καὶ πρὸ τῶν

αἰώνων γεννηθεὶς ἐκ θεοῦ, υἱὸς αὐτοῦ ὀνομάζεται. οὐδὲ γὰρ θέμις εἰπεῖν φθάσαι τοὺς αἰῶνας τὴν [illegible] αἰώνιον γέννησιν. εἰ δ' οὖν, ἔστιν ὅτε εὑρίσκεται ὁ θεὸς καὶ ἄλογος καὶ ἄσοφος, καὶ ἀδύνατος, καὶ πηγὴ ξηρὰ αὐτοῦ ὑπάρχει. ἀλλ' ἐπεὶ ὥσπερ λόγος θεοῦ ὀνομάζεται ὁ χριστός, οὕτω καὶ σοφία καὶ δύναμις λέγεται. καὶ ἡ ἄλογος καὶ ἄσοφος καὶ ἀδύναμος εὑρίσκεται μὲν πρότερον ὁ θεός, μετὰ δὲ ταῦτα προσελάβετο σοφίαν καὶ λόγον καὶ δύναμιν ὥσπερ οἱ ἄνθρωποι, [illegible] τότε ἐγένετο τέλειος [illegible] ἐξ ἀϊδίου καὶ πρὸ πάντων τῶν αἰώνων τέλειος ὤν, τὸν ἑαυτοῦ λόγον γεννήσει. καὶ εἰ μὲν μετὰ καιρὸν καὶ χρόνον τὸν λόγον ὑπεστήσατο, ὡς θεὸς πρότερον ἄλογος [illegible] γὰρ τῶν σωμάτων κἂν ὅσον ἀφελκτοῦ τις, τὸ καταλειπόμενον σῶμα ἐστίν. ἀλλ' [illegible] τῆς ἀσωμάτων φύσεως κἂν τὸ σμικρότατον ἀφαιρήσῃς, τὸ πᾶν ἀπώλεσας. καὶ εἰ [illegible] ἀσωμάτων ἀγγέλων οὕτως ἐστὶν ἡ ἀλήθεια, πόσῳ μᾶλλον ἐπὶ θεοῦ τὸ τοῦ ἐστὶν ἄτοπον, τοῦ πάσης ἀσωματότητος καὶ ἀπλότητος, καὶ πάσης φύσεως ὑπερουσίως ἐξῃρημένου. εἴπερ γὰρ μὴ εἶχε λόγον, ἀλλ' ὕστερον αὐτὸν προσελάβετο, δυνατόν ἐστιν ἀπολέσαι τοῦτον, καθὼς καὶ προσελάβετο. τὰ γὰρ προστεθειμένα, φανερὸν ὅτι καὶ ἀφαιρεῖσθαι δύναται. εἰ δὲ ἐξ ἀϊδίου καὶ [illegible] πάντων τῶν αἰώνων ὡς τέλειος θεὸς τὸν τέλειον αὐτοῦ λόγον ἐγέννησε καὶ ἀΐδιος ὢν ὁ πατὴρ ἀϊδίως τὸν αὐτοῦ υἱὸν καὶ λόγον ἐξέλαμψε. καὶ εἰκὼν καὶ ἀπαύγασμα φυσ[illegible] ὁ σωτὴρ τοῦ πατρός ἐστι. καὶ ἐν [illegible] εἰκόνι ταύτῃ ἀεὶ [illegible] ὁ πατήρ, ἑαυτὸν ἀεὶ θεωρεῖ. [illegible] μάταιος ὁ μωάμεθ, ὁ λέγων, ὅτι οὐ δύναται ὁ θεὸς καθ' οὐδένα τρόπον υἱὸν ἔχειν ἄνευ γυναικός. τοῦτο γὰρ πολλάκις ἀνακυκλοῖ αὐτὸ ἰσχυροῦ ἐπιχειρήματος. ἐνέπεσεν δὲ εἰς ταύτην τὴν πλάνην, ὡς οἶμαι, διὰ τὸ θεὸν νομίσαι εἶναι ἐνσώματον. διὰ τοῦτο καὶ τὴν ἄνω γέννησιν σωματικὴν εἶναι ὑπέλαβε. καὶ διό ὥσπερ περὶ θεοῦ, ὅτι ἐπεὶ συμβεβηκὸς ἐν αὐτῷ οὐκ ἔστιν, ἐξ ἀνάγκης ἡ οὐσία ἡ ζωή, ὅτι μὴ ἐσθίει ἢ ἀναπνεῖ, οὕτως ἀρνεῖται τὸ τὸν θεὸν ἔχειν υἱόν. ἐπεὶ δὲ τὸν χριστὸν ὁ αὐτὸς μωάμεθ ψυχὴν θεοῦ καὶ πνοὴν θεοῦ διαῤῥήδην ὀνομάζει καὶ λέγ[illegible] ὤμεθα καὶ ἡμεῖς τοῦτο οὕτως εἶναι κατὰ τὸν ἐκείνου λόγον. καὶ εἰ ἡ τοῦ θεοῦ πνοὴ καὶ ψυχὴ κτίσμα δύνατ[αι] εἶναι καὶ ἐστίν, ἰδοὺ ἐστὶν ὅτι ὁ θεὸς κατὰ τὸν μωάμεθ, καὶ ἄπνους καὶ ἄψυχος ἦν, καὶ διὰ κτι[σ]μάτων ἐγένετο τέλειος. καὶ ἢ αὐτὸς ἑαυτὸν ἐδημιούργησε, καὶ ἐποίησε τέλειον ἀτελὴς εὑρισκόμ[ενος] ἢ ἕτερος ἐστὶν ὁ τούτου δημιουργός. καὶ σκόπει τὸ ἄτοπον. εἰ δὲ οὐκ ἦν ποτὲ ὅτε ὁ θεὸς ἄπνους καὶ ἄψυχος εὑρίσκετο, ἀλλ' ἀεὶ ἔμψυχος καὶ ἔμπνους, λοιπὸν καὶ ἀεὶ ὁ χριστός, οὐχὶ καθὸ ἄνθρωπος, ἀλλὰ καθὼς ἐκ θεοῦ γενόμενος ὑπῆρχε τῷ θεῷ. κἂν τε γ[ο]ῦν λόγον, κἂν τε σοφίαν καὶ δύναμιν εἴπῃς, ἀεὶ ἐκ τοῦ [θε]οῦ ἐστι, καὶ μετ' αὐτοῦ ἐστίν. οὐδὲ γάρ ἐστι ποτὲ ὁ σοφὸς ἄνευ τῆς ἑαυτοῦ σοφίας, οὐδὲ ὁ δυνατὸς ἐκτὸς τῆς ἑαυτοῦ δυνάμεως, οὐδὲ ὁ νοῦς χωρὶς τοῦ ἑαυτοῦ λόγου, ὡς οὐδὲ ὁ ἥλιος ἄνευ τῆς ἑαυτοῦ ἀκτῖνος. κἂν τε γοῦν ψυχὴν θεοῦ καὶ πνοὴν εἴπῃς, τὸν αὐτὸν λόγον ἐστὶν εἰπεῖν. εἰ γὰρ ψυχὴν [ἔ]χει ὁ θεός, τὸ τίμιον αὐτοῦ, ἡ ψυχὴ αὐτοῦ εὑρίσκεται ἄν. καὶ ἰδοὺ ἀπό τε τῆς ἀληθείας, ἀπό τε τῆς τοῦ μωάμεθ ὁμολογίας, ὁ χριστὸς τῆς αὐτῆς καὶ μιᾶς φύσεως τῷ θεῷ εὑρισκόμενος ἀποδέδεικται. καὶ αὐτὸν τὸν θεὸν καὶ πατέρα ἔχων πρὸ τῶν αἰώνων ἐξ ἀϊδίου γεννήτορα, καὶ γνήσιος υἱὸς τοῦ θεοῦ ἀναφαίνεται, καὶ θεός, καθὼς καὶ αὐτὸς ἐν τοῖς εὐαγγελίοις οὑτωσί φησίν, ὅτι ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, τουτέστιν εἷς θεός, οὐ κατὰ τὰς ὑπο[στ]άσεις, ὡς ὁ σαβέλλιος λέγει, ἀλλὰ κατὰ τὴν [ο]ὐσίαν καὶ τὴν αὐτὴν θεότητα. καὶ ὁ μὲν θεόπτης μωϋσῆς, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν φησίν. ὁ δὲ προφήτης δαβίδ, πάντ[α] ἐν σοφίᾳ ἐπ[οίη]σας, καὶ τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. καὶ ὁ [τ]ούτου υἱὸς ὁ θαυμάσιος σολομών, ὅτι ὁ θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει. ὁ δὲ μεγαλοφωνότατος ἠσαΐας, ὁ θεὸς ὁ αἰώνιος, ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς. ὁ δὲ μακάριος ἰωάννης ὁ παῖς τοῦ ζεβεδαίου, ὃν ἵνα καὶ βροντῆς υἱὸν ἐκάλεσεν ὁ κύριος, διὰ τὸ τὴν ἄνω γέννησιν τρανότερον βροντῆς τῇ οἰκουμένῃ σαλπίσαι, οὑτωσί φησιν ἐν τῷ εὐαγγελίῳ, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονε. βλέπεις πῶς διὰ τὸ ἄωρον τοῦ καιροῦ συνεσκιασμένως οἱ προφῆται ἐλάλησαν, ὁ δ' ἰωάννης ἀναφανδὸν καὶ γυμν[ῇ] τῇ κεφαλῇ μέγα ἐβόησε; καὶ οἱ πάλαι προφῆται ὁ μὲν λόγον, ὁ δὲ σοφίαν, ὁ δὲ φρόνησιν, ὁ δὲ δημιουργὸν τοῦτον ἐκάλεσεν, ὁ δὲ θεόν, μὴ ἀνακαλύψας τὸ ἀπόκρυφον μυστήριον διὰ τὸ ἄωρον, ὡς εἴρηται, τοῦ καιροῦ. ὁπόταν δὲ παρενεχθῇ τὸ κάλυμμα,

οὐκ ἦν ὅσιον, οὐδὲ δίκαιον. ἔτι ὁ τοῦ θεοῦ υἱὸς καὶ θεὸς αἰνιγματωδῶς πως εὑρίσκετο κηρυττόμενος, καὶ διὰ τοῦτο ὁ τῆς βροντῆς υἱὸς, τὸ ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ τὰ ἑξῆς τρανῶς ὑπηγόρευσε. καὶ ὥσπερ ὁ ἥλιος ὑπὸ βαθυτάτου νέφους καὶ χειμῶνος κρυπτόμενος, παρὰ μὲν τοῖς ἀνθρώποις ἀφανής ἐστι, τὸ δ' αὐτοῦ φῶς οἱονεὶ παρ' ἑαυτῷ κατέχων εὑρίσκεται, λυθέντος δὲ τοῦ χειμῶνος, καὶ τοῦ ἀέρος ἐπελθόντος, τοῖς πᾶσιν ἀφθόνως τὰς ἀκτῖνας ἀφίησιν, οὕτω μοι νόει καὶ ἐπὶ τοῦ υἱοῦ καὶ λόγου τοῦ θεοῦ. θεὸς ὢν ἀληθὴς καὶ πρὸ τῶν αἰώνων, υἱὸς θεοῦ καὶ ποιητὴς πάσης κτίσεως, ὡς καὶ ἐν ταῖς ἔμπροσθεν ἀπολογίαις, καὶ κατὰ τὸ παρὸν ἀποδέδεικται, ἀλλ' ἐκρύπτετο ὅμως ὑπὸ τοῦ νέφους τῆς ἀγνωσίας, καὶ τοῦ χειμῶνος τῆς τῶν εἰδώλων προσκυνήσεως, μετά τε τοῦ πατρὸς καὶ τοῦ πνεύματος. ἡνίκα δὲ ἐπεφάνη τὸ ἔαρ, τουτέστιν ἡ αὐτοῦ ἔνσαρκος οἰκονομία, καὶ ἐγεννήθη τὸ κατὰ σάρκα ἐκ γυναικὸς τῆς ἁγίας παρθένου καὶ θεοτόκου μαρίας, τότε ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις. καὶ προσεκύνησεν ἡ κτίσις τὸν κτίσαντα αὐτὴν, καὶ ἐδόξασαν τὸν μόνον ἀληθῆ θεὸν, τὸν πατέρα τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, καὶ αὐτὸν τὸν υἱὸν καὶ λόγον τοῦ πατρὸς, καὶ τὸ πανάγιον καὶ ζωοποιὸν πνεῦμα, τὴν μίαν ἁγίαν ὁμοούσιον καὶ ἀδιαίρετον καὶ ἀσύγχυτον τριάδα τὸν ἕνα θεόν. καὶ τότε ἐθεάθη ἡ τοῦ χριστοῦ δόξα, δόξα ὡς μονογενοῦς παρὰ πατρός. καὶ τότε ἀφῆκε τὰς θεϊκὰς αὐτοῦ ἀκτῖνας, καὶ τὸ σκότος τῆς ἀγνωσίας ἐφώτισε, καὶ τὰς κατεψυγμένας καὶ νεκρὰς ψυχὰς τῇ θέρμῃ τῆς πίστεως ἀνεζώωσεν.

Ἐπεὶ ὁ μωάμεθ τὸν χριστὸν ἐκ παρθένου γεννηθῆναι ὁμολογεῖ ἄνευ ἀνδρὸς, αἱρετικῷ καρποκράτῃ ἀκολουθῶν, θεὸν δὲ καὶ θεοῦ υἱὸν οὐδαμῶς, δυσὶν ἀποδείξεσι χρώμενος. ὅτι τε ὁ χριστὸς οὐδέποτε περὶ ἑαυτοῦ τοῦτο ἔφη. καὶ ὅτι τοῖς ἰουδαίοις εἶπε, προσκυνεῖτε τὸν θεόν μου καὶ θεὸν ὑμῶν, καὶ κύριόν μου καὶ κύριον ὑμῶν. ὁ δὲ σκοπὸς τοῦ ἀσεβοῦς πάντοτε εἰς τοῦτό ἐστι, τὸ ἵνα κατὰ πᾶσαν αὐτοῦ τὴν δύναμιν πείσῃ πάντας ἀνθρώπους, καὶ ὅτι θεὸν οὔτε θεοῦ υἱὸν πιστεύσωσιν εἶναι τὸν χριστὸν, ἀλλ' ἅγιον μὲν καὶ προφήτην ὑπὲρ ἅπαντας προφήτας, καὶ ἄνθρωπον ὑπὲρ πάντας ἀνθρώπους, θεὸν δὲ οὐδαμῶς. ἀλλ' ἐπιχειρεῖ κατὰ τοῦ χριστοῦ πεῖσαι τοὺς ἀνθρώπους ὁ μάταιος, τὸν διάβολον μιμούμενος. ὥσπερ γὰρ ἐκεῖνος παντὶ τρόπῳ μηχανᾶται εἰς τὸ πλανῆσαι πάντα ἄνθρωπον, καὶ ἢ τῇ πίστει ἢ τοῖς ἔργοις χωρίσαι αὐτὸν τοῦ θεοῦ, οὕτω καὶ ὁ μωάμεθ παντὶ τρόπῳ σπουδάζων εὑρίσκεται, ἵνα ἀπὸ τοῦ ἀληθινοῦ θεοῦ μακράν που ποιήσῃ πάντα ἄνθρωπον, ποτὲ μὲν τῇ πίστει, ποτὲ δὲ τοῖς ἔργοις. θεὸν δὲ προσκυνεῖν διδάσκει, ὅν τινα ἀναπλάττει ἡ ἐκείνου διάνοια. καὶ οἱ μὲν δαίμονες τὸν κύριον ἰδόντες, θεοῦ υἱὸν αὐτὸν ὡμολόγησαν καὶ κριτὴν ἄκοντες. οὐ γὰρ ὡς ἀληθεῖς προσκυνηταὶ τοῦτον ὡμολόγουσαν, ἀλλ' ὡς μὴ δυνάμενοι κρύψαι τὴν ἀλήθειαν, οὕτως εἶπον, τί ἡμῖν καὶ σοὶ υἱὲ τοῦ θεοῦ, ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς; ὁ δὲ μωάμεθ καὶ χείρων τῶν δαιμόνων ἀναφαίνεται, ἐπεὶ μήτε θεοῦ υἱὸν, μήτε κριτὴν τὸν χριστὸν λέγει εἶναι. ἀλλ' εἴποι ἂν ἡσαΐας πρὸς αὐτὸν, ὅτι μετὰ τοῦ διαβόλου ἐφθάρη ἡ ἐπιστήμη σου σὺν τῷ κάλλει σου. καὶ λοιπὸν δικαίως ἂν εἴποι τις περί τε τοῦ μωάμεθ, περί τε τῶν ἀκολουθησάντων αὐτῷ, ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν ἐστι, καὶ οὐκ ἔστιν ἐν αὐτῷ ἐπιστήμη. ἡμεῖς δὲ λέγομεν οὕτως, ὅτι ἐὰν ἡ πίστις ἄνευ τῶν ἔργων νεκρά ἐστι κατὰ τὸ λόγιον, πολλῷ μᾶλλον νεκρά εἰσι τὰ ἔργα, μὴ οὔσης πίστεως. ἔνθα δὲ οὔτε πίστις οὔτε ἔργα, τί χρὴ νομίζειν ἐκεῖσε; ὥσπερ γὰρ τὸ σῶμα νεκρόν ἐστιν ἄνευ ψυχῆς, οὕτω ψυχὴ ἄνευ πίστεως καὶ ἔργων. οὔσης γὰρ πίστεως, εἴπερ δέξεται τραύματα ἡ ψυχὴ, ἔχει τρόπους ἰάσεως διά τε μετανοίας καὶ ἔργων. μὴ οὔσης δὲ πίστεως, πᾶσα πρᾶξις καὶ πᾶσα νομιζομένη ἀρετὴ, ματαία καὶ ἕωλος. πίστεως γὰρ οὔσης ἔστι καὶ ἀρετὴ, ἔστιν ὅτε καὶ ἀρετῆς ἀπόπτωσις, τουτέστιν ἁμαρτία. ὅπου δὲ πίστις οὐκ ἔστιν, οὐδ' ἀρετή. καὶ ἔνθα ἀρετὴ οὐκ ἔστιν, οὐδ' ἀρετῆς ἀπόπτωσις. ἄρα ἔνθα πίστις οὐκ ἔστιν, οὔτ' ἀρετή ἐστιν, οὔθ' ἁμαρτία, ἀλλὰ γυμνὴ καὶ μόνη ἀσέβεια. διά τοι τοῦτο καὶ ἡσαΐας φησίν, ἐὰν μὴ πιστεύσητε, οὐ μὴ συνῆτε. τοίνυν ἡ πίστις καὶ ἡ ἐλπὶς τῶν μὴ βλεπομένων ἐστίν, οὐ τῶν ἀποδεδειγμένων. ἀλλ' ἔστι δῶρον θεοῦ ἐξαιρέτως, ἡ εἰς τὴν ἁγίαν τριάδα τῶν χριστιανῶν πίστις. ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; καὶ ὃ βλέπει, τί καὶ πιστεύει; ἀλλ' ὅμως ὥσπερ ὁ καθ' ἡμᾶς ἥλιος, τὰ πάντα ὅσα μετέχειν αὐτοῦ δύναται φωτίζει, καὶ ὑπερηπλωμένον ἔχει τὸ φῶς εἰς πάντα τὸν ὁρατὸν κόσμον ἄνω τε καὶ κάτω, τὰς τῶν οἰκείων ἀκτίνων αὐγὰς ἐξαπλῶν. καὶ εἴ τινι οὐ μέτεστι, τοῦτο οὐ τῆς ἀσθενείας τῆς φωτιστικῆς δυνάμεως αὐτοῦ ἐστιν, ἀλλὰ τῆς δι' ἀνεπιτηδειότητα τῆς ὁράσεως. καὶ πολλὰ τῶν οὕτως ἐχόντων ἡ ἀκτὶς διαβαίνουσα οὐ φωτίζει, τὰ

δὲ, τὰ ἐκεῖνα φωτίζει, οὕτω καὶ ὁ νοητὸς ἥλιος τῆς δικαιοσύνης, τουτέστιν ὁ χριστὸς, τοὺς εἰς αὐτὸν
πιστεύοντας ἐμπιπλᾷ νοητοῦ φωτός. πᾶσαν δὲ ἄγνοιαν καὶ πλάνην ἐλαύνει ἐκ πασῶν
ψυχῶν, αἷς ἂν ἐγγένηται, καὶ τοὺς νοερὺς αὐτῶν ὀφθαλμοὺς ἀποκαθαίρει. καὶ γὰρ ὥσπερ ἡ ἄγνοια
διαιρετικὴ τῶν πεπλανημένων ἐστὶν, οὕτως ἡ τοῦ νοητοῦ φωτὸς παρουσία συναγωγὸς καὶ ἑνωτι-
κὴ τῶν φωτιζομένων ἐστί. διὰ γοῦν τοῦτο καὶ ὁ χριστὸς ἔλεγεν, ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, καὶ ὁ πι-
στεύων εἰς ἐμὲ, οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ τῆς πλάνης δηλονότι, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς,
καὶ ἕτερα ὅσα μετ' ὀλίγον ὁ λόγος δῆλα ποιήσει. ἐπεὶ γοῦν, ὡς εἴρηται ἐν τῷ κεφαλαίῳ τοῦ
ἑλμαιδᾶ, διπλᾶς ἀποδείξεις φέρων εὑρίσκεται περὶ τοῦ χριστοῦ ὁ μωάμεθ δεικνύων ὡς οὐκ ἔστι
θεὸς, διὸ οὐδέποτε εἴρηκεν ἑαυτὸν θεὸν ὁ χριστὸς, καὶ ὅτι τοῖς ἰουδαίοις εἶπεν, ὅτι προσκυνεῖτε
τὸν θεόν μου καὶ θεὸν ὑμῶν, καὶ κύριόν μου καὶ κύριον ὑμῶν. δεῦρο δὴ σκεψώμεθα περὶ τῆς προ-
τέρας, ἔπειτα δὲ ἰδόντες, καὶ περὶ τῆς δευτέρας. ἀρξώμεθα τοίνυν ἀπὸ τῆς τοῦ μωάμεθ ὁμολο-
γίας. οὗτος τὸν χριστὸν λόγον θεοῦ, καὶ ψυχὴν θεοῦ καὶ πνοὴν θεοῦ λέγει, καθὼς εἴρηται, καὶ τὰ
παρὰ τοῦ χριστοῦ καὶ τῶν ἀποστόλων γραφέντα καὶ πραχθέντα ἐν τῷ εὐαγγελίῳ δίκαια καὶ ἅγια καὶ
τέλεια καὶ ἀληθῆ ὡμολόγησε. καὶ δικαίως. ἡ γὰρ τοῦ κυρίου ἀλήθεια εἰς τὸν αἰῶνα μένει. ἀπὸ γὰρ
τοῦ ... τοῦ θεοῦ οὐ δύναται ... λθεῖν ψεῦδος. ταὐτὸν γὰρ ἐστιν εἰπεῖν, ὅτι ὁ θεὸς οὐκ ἔστι θεός,
καὶ ἡ ἀλήθεια ψεῦδος ἐστὶ, καὶ τὸ φῶς σκότος. ... δοῦ γοῦν τὸ ἄτοπον ... ὁ μωάμεθ νοήσας,
κατέφυγεν εἰς τὸ μήποτε τὸν χριστὸν περὶ ἑαυτοῦ εἰπεῖν, ὅτι ἐστὶ θεός. ἡμεῖς γοῦν ἔν τε τῇ πρώ-
τῃ ἀπολογίᾳ καὶ δευτέρᾳ καὶ τρίτῃ πεπλατυσμένως καὶ τρανῶς ἀπεδείξαμεν, ἀπό τε τοῦ
ἀδὰμ ἕως τῆς τοῦ χριστοῦ γεννήσεως, ... ως προεφήτευσαν πάντες οἱ προφῆται, ὅπως εἶδον οἱ
πατέρες, ὅπως ἐλάλησεν αὐτὸς ὁ θεὸς καὶ πατὴρ περὶ τοῦ χριστοῦ, καὶ φανερῶς καὶ ἀναμφιβόλως
ἀπεδείχθη καὶ ἀνεφάνη θεὸς καὶ θεοῦ υἱός, καὶ υἱὸς ἀνθρώπου ... ὰ δὲ τὸ ἰωάννου βάπτισμα καὶ τὸν
θάνατον ἐκείνου, ἤρξατο αὐτὸς ὁ χριστὸς εὐαγγελίζεσθαι τὴν βασιλείαν τοῦ θεοῦ. καὶ ὅτι μὲν κη
ὑψηλῶν οὐκ ἐβόα συχνῶς, ὅτι ἐγώ εἰμι ὁ θεὸς ὁ λαλῶν μεθ' ὑμῶν, οὕτως ἐστὶν, ὥσπερ οὐδὲ βα-
σιλεὺς περιπατῶν βοᾷ, διὰ ἐγώ εἰμι ὁ βασιλεὺς, ἀλλ' ἀπὸ τῆς με... καὶ τῆς δόξης τῆς αὐτοῦ
ἐξουσίας καὶ δυνάμεως, πάντες τοῦτον διακρίνουσιν ἀπὸ τῶν δούλων αὐτοῦ, οὕτω καὶ ἐπὶ τοῦ χριστοῦ. κἂν
καὶ τῷ στόματι συχνῶς οὐκ ἔλεγεν, ὅτι ἐγώ εἰμι ὁ θεός, ἀλλά γε τοῖς ἔργοις τοῦτο ἐδείκνυεν. ἀλλ'
ὅμως οὐκ ἔκρυπτε τὴν αὐτοῦ θεότητα, οὐδὲ τὸν αὐτοῦ ... τορα καὶ θεόν, οὐδὲ ἐκώλυε τοὺς αὐτὸν ὁμο-
λογοῦντας θεὸν καὶ θεοῦ υἱόν. ὁ γὰρ ναθαναὴλ εἰπὼν, διὰ σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ
ἰσραὴλ, οὐκ ἐπετιμήθη ὥσπερ οἱ ἐν λυκαονίᾳ βουλόμενοι ὁμολογῆσαι τόν τε παῦλον καὶ βαρ-
νάβαν θεοὺς, καὶ θύσειν αὐτοῖς ὡς θεοῖς, ἐπετιμήθησαν παρὰ αὐτῶν εἰπόντων, ὅτι παύσασθε τοῦ ἀτο-
...ήματος, ὅτι καὶ ἡμεῖς ἄνθρωποι ὁμοιοπαθεῖς ὑμῖν ἐσμὲν, πρὸς τῷ ... ων διαρρῆξαι αὐτῶν τὰ
ἱμάτια αὐτῶν. ἀλλὰ προσεδέχθη ἡ τοῦ ναθαναὴλ ὁμολογία, καὶ ἐπῃνέθη. ἔτι τοῦ κυρίου ἐρωτή-
σαντος τοὺς ἰδίους μαθητὰς, τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; οὐχ ὡς χρείαν
ἔχοντος ἐρωτᾷν τοῦ τὰ πάντα εἰδότος πρὶν γενέσεως αὐτῶν, ἀλλ' ἀνάγοντος αὐτοὺς ἐπὶ τὸ ὑ-
ψηλότερον. καὶ λεγόντων τῶν μαθητῶν πρὸς τὸν χριστὸν τὰς τῶν πολλῶν περὶ αὐτοῦ δόξας, καὶ ὁ πέ-
τρος εἰπὼν, ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, οὐκ ἤκουσε παρὰ τοῦ χριστοῦ, ὅτι σφάλλῃ πέ-
τρε, μηκέτι πλανῶ, διδάσκαλός σου εἰμί. ἄκουσον καὶ γνῶθι τὴν ἀλήθειαν σύ τε καὶ πάντες.
οὐκ εἰμὶ ἐγὼ ὁ υἱὸς τοῦ θεοῦ, οὐ γάρ ἐστι δυνατὸν υἱὸν ἔχειν τὸν θεόν. ἀλλὰ τί; λέγει ὁ χριστὸς, μακάρι-
ος εἶ σίμων υἱὲ τοῦ ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρα-
νοῖς. πάντως τὸν ἐκείνου λόγον στηρίζων. ἀντίχαριν δὲ καὶ μισθὸν τῆς ὀρθῆς καὶ ἀπλανοῦς ὁμολογίας,
δέδωκεν αὐτῷ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν. ἔτι τῇ ὀγδόῃ ἡμέρᾳ τῆς τοῦ χριστοῦ
ἀναστάσεως, ὁ θωμᾶς ψηλαφήσας τὴν τοῦ κυρίου πλευρὰν καὶ τὰς χεῖρας, καὶ γνοὺς ὅτι αὐτὸς
πάσης ἀντιλογίας αὐτός ἐστιν ὁ χριστὸς, μέγα ἀνεβόησεν, ὁ κύριός μου, καὶ ὁ θεός μου. τί δὲ ὁ
χριστὸς τῷ θωμᾷ; ὅτι ἑώρακάς με, πεπίστευκας. μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. καὶ
ταῦτα μὲν ἐκεῖνοι. ἴδωμεν δὲ καὶ τὰ παρὰ τοῦ χριστοῦ εἰς αὐτὸν λεχθέντα, ἀμὴν ἀμὴν, φησὶ, λέγω
ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οἱ ἀκούσαν-
τες ζήσονται. ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑ-
αυτῷ, καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί. μὴ θαυμάζετε τοῦτο,

ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. καὶ πάλιν, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον. τί γοῦν δοκεῖ ὑμῖν; λέγει ὁ χριστὸς ἑαυτὸν θεὸν καὶ θεοῦ υἱὸν, ἢ οὔ; πάντως ἐν τῷ εἰπεῖν, ὅτι ἔρχεται ὥρα, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, ἔδειξεν ὅτι ἔχει ὁ θεὸς υἱὸν, ὅς ἐστιν αὐτὸς ὁ χριστός. τὸ δὲ ἀκούσονται οἱ νεκροὶ τῆς φωνῆς αὐτοῦ, καὶ ζήσονται, ἔδειξεν ἑαυτὸν δεσπότην, καὶ ἐξουσίαν ἔχοντα ζωῆς καὶ θανάτου, νῦν καὶ ἀεί ποτε. ὥσπερ γὰρ ὁ πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτω καὶ ὁ υἱός. ἐν δὲ τῷ εἰπεῖν καὶ κρίσιν ποιεῖν, ἔδειξε τὴν δευτέραν αὐτοῦ παρουσίαν, καὶ κρίσιν, ἣν μέλλει ποιήσειν, ὡς καὶ ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ τρανῶς ἀποδέδεικται. ἐν δὲ τῷ εἰπεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστὶ, μὴ θαυμάζετε τοῦτο. καὶ γὰρ ἔρχεται ὥρα, ἐν ᾗ ἀκούσονται οἱ ἐν τοῖς μνημείοις, καὶ ἐκπορεύσονται εἰς ἀνάστασιν καὶ κρίσιν καὶ ἀνταπόδοσιν, ἔδειξε μὲν θεὸν ἑαυτὸν, ἀλλὰ καὶ ἄνθρωπον. ταῦτα γὰρ πάντα θεοῦ ἔργα προδήλως ὑπάρχουσι. καὶ διὰ τοῦτο ἡ μὲν παλαιὰ θεολογία καλεῖται, ὡς ἔχουσα τοὺς τοῦ θεοῦ λόγους. ἡ δὲ νέα λέγεται μὲν καὶ αὐτὴ θεολογία, διὰ τὸ καὶ αὐτὴν ὁμοίως κεκτῆσθαι αὐτούς. ἐξόχως δὲ θεουργία καλεῖται, διότι ἃ πάλαι προεῖπον οἱ προφῆται, ταῦτα αὐτὸς ὁ χριστὸς ἐνήργησε καὶ ἐπλήρωσε, καὶ ἀγαθουργῶν διεπραγματεύσατο τὰ καθ' ἡμᾶς ταπεινὰ, τοῖς θειοτάτοις αὐτοῦ κατ' ἄκρον ἑνώσας εὐδοκίᾳ τοῦ πατρὸς, καὶ συνεργίᾳ τοῦ πνεύματος. καὶ λοιπὸν δικαίως ἂν εἴποιμεν, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. ἐπεὶ γοῦν ὁ χριστὸς ἐστὶ θεὸς μὲν, ὡς ἀποδέδεικται, καὶ θεοῦ υἱὸς, ἔστι δὲ καὶ ἄνθρωπος καὶ υἱὸς ἀνθρώπου κατὰ τὴν σάρκα, καὶ ἐκηρύττετο ἀπὸ συστάσεως κόσμου, καὶ ἀνεφαίνετο λόγοις προφητικοῖς καὶ ὁράσεσιν, ἀλλὰ δὴ καὶ αὐτοῦ τοῦ θεοῦ … πατρὸς, τοῦ καιροῦ δὲ καλέσαντος καὶ αὐτὸς ὁ χριστὸς ἐναργῶς τοῦτο ἀπέδειξε διά τε λόγων καὶ πράξεων, καὶ συνελὼν τὰ πάντα, εἶπεν, ὅτι ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον, διέστειλε τὴν ψυχικὴν ζωὴν τῆς σωματικῆς. ἡ γὰρ σωματικὴ πρὸς ὀλίγον φανεῖσα … ἔρχεται, ἡ δὲ ψυχικὴ αἰώνιός ἐστιν, ὥσπερ καὶ ὁ θάνατος αὐτῆς. ἀλλ' ὅμως καὶ τὸ φθαρτὸν τοῦτο καὶ θνητὸν σῶμα ὁ δημιουργὸς αὐτοῦ θεὸς οὐκ ἐγκαταλείψει ἔν τε τῷ θανάτῳ καὶ τῇ φθορᾷ, ἀλλ' ὅταν ἐνδύσῃ αὐτὸ ἀφθαρσίαν καὶ ἀθανασίαν, καὶ ἄφθαρτοι καὶ ἀθάνατοι ἀναστάντες, τότε κατὰ τὸ λόγιον σὺν τῷ κυρίῳ ἐσόμεθα. τοίνυν διὰ τῶν ῥημάτων αὐτοῦ, καὶ ὧν πρότερον πολλάκις ἐλάλησεν, οὐδὲν δὲ ἔλαττον καὶ ἐξ ὧν ἡμεῖς οὐκ ἐγράψαμεν, … ὡς ὁ χριστὸς θεόν τε καὶ ἄνθρωπον ἑαυτὸν ἀπέφηνεν. ἀλλ' ὅτε καὶ τὸν ἐκ γενετῆς τυφλὸν σῶον καὶ θεωροῦντα ἀποκατέστησε μετὰ τὸ ἀναβλέψαι αὐτὸν, οὕτως εἴρηκε πρὸς αὐτὸν, σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ; ὁ δὲ φησὶ, καὶ τίς ἐστι κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; εἶπε δὲ αὐτῷ ὁ ἰησοῦς, καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν. ὁ δὲ ἔφη, πιστεύω κύριε. καὶ προσεκύνησεν αὐτόν. ἀλλ' ὅμως ὁ αὐτὸς μωάμεθ κατηγορῶν λέγει περί τινων, ὅτι ἀπεδοκίμασαν ἅ τινα οὔτε νοοῦσιν, οὔτε δύνανται ἐξηγεῖσθαι, ὅπερ μᾶλλον αὐτὸς πέπονθεν, ἀποδοκιμάσας τὸν χριστὸν μὴ εἶναι υἱὸν θεοῦ, μηδὲ σαρκωθῆναι, καὶ διὰ τὸ τῆς ἀκαταληψίας μέγεθος ταῦτα ἠρνήσατο, ἀλλὰ καὶ τὸ τῆς τριάδος μυστήριον οὐ προσεδέξατο. οὐ γὰρ ἠδυνήθη νοεῖν τὴν τῶν προσώπων διάκρισιν αὐτοῦ τῆς κατὰ τὴν … διακρίσεως, ὡς εἴρηται. ἐθαυμαστώθη γὰρ, φησὶν, ἡ γνῶσίς σου ἐξ ἐμοῦ, λίαν ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν. τί δὲ ἄλλο ἐστὶν, ἢ ἡ ἀκατάληπτος καὶ ἀπερινόητος τοῦ θεοῦ γνῶσις, ἥτις ἀγνωσία παρεικάζεται διὰ τὸ ὑπεραῖρον αὐτοῦ πάσης κτιστῆς γνώσεως. ἡ γὰρ τοῦ θεοῦ ἀγνωσία οὐ λέγεται κατὰ στέρησιν, ἀλλὰ καθ' ὑπεροχήν. διὰ γὰρ τὸ ὑπερβάλλον καὶ ἀπρόσιτον φῶς τοῦ θεοῦ, σκότος αὐτὸ ὠνόμασαν. τὸ γὰρ μὴ δυνάμενον ὁρᾶσθαι, σκότος ἄντικρυς ἐστίν. ἔθετο γὰρ, φησὶ, σκότος ἀποκρυφὴν αὐτοῦ. ἀλλὰ καὶ τὴν τοῦ θεοῦ σοφίαν καὶ ἐπιστήμην τὴν ὑπεραίρουσαν πᾶσαν ἀγγέλων τε καὶ ἀνθρώπων σύνεσιν, τὴν μὴ ἔχουσαν νοῦν ἢ λόγον ἑρμηνευτικὸν, μωρίαν οἱ θεολόγοι ἐκάλεσαν. διὰ τοῦτο καὶ τὴν τοῦ θεοῦ λόγου ἐνανθρώπησιν, κένωσιν οἱ αὐτοὶ θεολόγοι καλοῦσι, καίτοι πλήρη τυγχάνουσαν, μᾶλλον δὲ ὑπερπλήρη σοφίας καὶ δυνάμεως καὶ σωτηρίας. εἰ οὖν παρὰ τοῖς θεολόγοις ἐθαυμαστώθη ἡ τοῦ θεοῦ γνῶσις διὰ τὸ ἀκατάληπτον, καὶ ἐπιγνόντες τὴν ἑαυτῶν ἀσθένειαν, ὡμολόγησαν εἰπόντες, ὅτι οὐ δύνανται πρὸς αὐτὴν, πῶς κἂν ὅλως ἴχνος τι τοῦ θεοῦ γνώσεως ἐγχωρεῖ εὑρεθῆναι ἐν τῷ τῆς κα-

πίας καὶ τῆς ψευδολογίας ἐφευρετήν. ὁ γὰρ μὴ εἰδὼς ὅλως τὸ βρῶμα ὅπερ ἐσθίει, ὅπως εἰς χυμοὺς μερίζεται, τὸν θεὸν πειρᾶται ἐρευνᾶν. μύσας καὶ γὰρ τοὺς τῆς ψυχῆς καὶ νοὸς αὐτοῦ ὀφθαλμοὺς, οὐκ ἔγνω τὸν ἥλιον τῆς δικαιοσύνης, καὶ διὰ τοῦτο ἀπεδοκίμασεν αὐτὸν διὰ τὸν τῆς δικαιοσύνης ἥλιον, τὸν υἱὸν καὶ λόγον τοῦ θεοῦ, καὶ σὺν αὐτῷ τὸν πατέρα καὶ τὸ πνεῦμα. ὁ γὰρ μὴ ἔχων τὸν υἱὸν, φησὶν ὁ σωτὴρ, οὐδὲ τὸν πατέρα. ὁ δὲ τὸν πατέρα καὶ τὸν υἱὸν μὴ ἔχων, ἐξ ἀνάγκης οὐδὲ τὸ πνεῦμα τὸ ἅγιον. τούτων τοίνυν οὕτως ὡμολογημένων, κακῶς ἄρα ἐλάλησεν ὁ μωάμεθ, ὡς οὐκ ἔφη ὁ σωτὴρ περὶ ἑαυτοῦ τὸ καθόλου, ὅτι θεός ἐστιν ἢ θεοῦ υἱός. ἀλλὰ περὶ μὲν τούτων οὕτως. σκεψώμεθα δὲ νῦν καὶ περὶ τῆς δευτέρας ἀποδείξεως τοῦ μωάμεθ, τῆς λεγούσης ὅτι πρὸς τοὺς ἰουδαίους διαλεγόμενος ὁ χριστὸς οὕτως εἴρηκεν, ὅτι προσκυνεῖτε τὸν θεόν μου καὶ θεὸν ὑμῶν, καὶ κύριόν μου καὶ κύριον ὑμῶν. ἡμεῖς γοῦν προείπομεν περὶ τοῦ μωάμεθ, ὅπως πῆ μὲν ἀνερυθριάστως λέγει τὸ ψεῦδος, πῆ δὲ μίγνυσι τῇ ἀληθείᾳ τὸ ψεῦδος, ὡς καὶ ἐν τῇ προκειμένῃ ἀποδείξει ἐκείνου. σκοπὸν γὰρ εἶχεν, ἵνα κατὰ πᾶσαν αὐτοῦ τὴν δύναμιν καταπείσῃ τὸν ἅπαντα κόσμον, καὶ ὅτε θεὸν ὁμολογήσωσι τὸν χριστὸν, ὅτε θεοῦ υἱόν. διὰ τοῦτο καὶ κατὰ τὸ παρὸν λέγει ἅπερ καὶ λέγει, ἀλλὰ καὶ περικεκομμένως ψευδές ἐστιν, ὅτι πρὸς τοὺς ἰουδαίους εἶπε τοῦτο ὁ χριστός. δεύτερον δὲ ὅτι οὐδὲ οὗτος ἐστὶν ὁ τοῦ χριστοῦ λόγος, ἀλλὰ μετὰ τὴν ἀνάστασιν, διὰ τὴν μέλλουσαν αὐτῷ γενέσθαι ἀνάληψιν, εἶπε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν. καὶ μᾶλλον ὥσπερ ἐπὶ πολλῶν ἑτέρων ὁ χριστὸς ἀναφαίνεται θεός τε καὶ ἄνθρωπος, οὕτω καὶ ἐπὶ τοῦ λόγου τούτου. ἐν γὰρ τῷ εἰπεῖν τοῦτον τὸν χριστὸν, ὅτι ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, ἔδειξεν ὅτι γνήσιος πατὴρ αὐτοῦ ἐστιν ὁ θεὸς, καὶ τῆς οὐσίας καὶ φύσεως αὐτοῦ ἐστιν ὁ χριστός. καὶ διὰ τοῦτο κεχωρισμένως εἶπεν, ὅτι ἀναβαίνω πρὸς τὸν πατέρα μου. εἰ γὰρ ὡς εἷς τῶν πολλῶν εὑρίσκετο καὶ αὐτὸς, κοινῶς ὡς ἐπὶ πρώτου προσώπου ἔμελλε προσφέρειν τὸν λόγον, καὶ εἰπεῖν, ὅτι ἀναβαίνω πρὸς τὸν πατέρα ἡμῶν. τὸ δὲ οὕτω κεχωρισμένως εἰπεῖν, τὸ ἀναβαίνω πρὸς τὸν πατέρα μου ἐπὶ πρώτου προσώπου, εἶτα καὶ πατέρα ὑμῶν, ὡς ἐπὶ δευτέρου, πάντως οὐδὲν ἕτερον εἴρηκεν, οὐδὲ ἄλλο ἐδήλωσεν, ἢ ὅτι αὐτὸς μὲν ὁ χριστὸς φύσει ἐστὶν υἱὸς τοῦ θεοῦ, οἱ δὲ ἄλλοι πάντες χάριτι. ὡς τὸ, ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες. τὸν αὐτὸν καὶ ὅμοιον τρόπον ἐδήλου καὶ τὸ θεόν μου καὶ θεὸν ὑμῶν. καὶ ὅτι μὲν ὡς ἄνθρωπος εἴρηκε τὸ θεόν μου, παντί που δῆλον, ἀλλ᾽ οὐδὲ αὐτὸ ὁμοίως ὡς πάντες ἄνθρωποι. εἰς γὰρ πάντας ἁγίους ἀνθρώπους κατὰ χάριν λέγεται ὁ θεὸς θεὸς αὐτῶν, ὡς ὅταν λέγηται θεὸς ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακὼβ, καὶ τῶν ὁμοίων αὐτοῖς. καὶ γὰρ πρότερον καθαρθέντες καὶ ἀπονιψάμενοι τὰς ἰδίας ἁμαρτίας, καὶ γενόμενοι σκεύη ἐλέους, ἐκ τούτου δέχονται τὴν τοῦ θεοῦ χάριν, καὶ γίνονται υἱοὶ θεοῦ, καὶ ὀνομάζεται ὁ θεὸς θεὸς αὐτῶν. ἐπὶ δὲ τοῦ χριστοῦ οὐχ οὕτως. ἀλλὰ πατὴρ αὐτοῦ λέγεται ὁ θεὸς, διότι γέννημα τῆς ὑποστάσεως τοῦ πατρός ἐστι, καὶ μία φύσις, καὶ μία οὐσία, καὶ θεότης, καὶ δύναμις πατρὸς καὶ υἱοῦ ἐστι. θεὸς δὲ τοῦ χριστοῦ λέγεται διὰ τὴν καθ᾽ ὑπόστασιν ἕνωσιν τοῦ υἱοῦ τῷ προσλήμματι, οὐχὶ δὲ κατὰ τοὺς ἁγίους. καὶ διὰ τοῦτο εἶπε καὶ περὶ τούτου κεχωρισμένως, τὸ ἀναβαίνω πρὸς τὸν θεόν μου καὶ θεὸν ὑμῶν. βλέπεις πῶς καὶ τὰ δοκοῦντα ταπεινὰ ἐπὶ τοῦ χριστοῦ, μέγαν καὶ ὑπερφυᾶ καὶ ἐξαίσιον ἔχει τὸν νοῦν; τοίνυν ἐξ αὐτῶν, ὧν ὁ μὲν χριστὸς καλῶς εἴρηκεν, ὁ δὲ μωάμεθ κακῶς προσέφερεν, ἀναφαίνεται ὁ χριστὸς θεός τε καὶ ἄνθρωπος.

Ἔτι ἀρνεῖται μὲν ὁ μωάμεθ τὸ, τὸν χριστὸν υἱὸν εἶναι θεοῦ καὶ θεόν. ἀρνεῖται δὲ, καὶ ὅτι ἐσαρκώθη· ἀλλὰ ψιλὸν μόνον ἄνθρωπον λέγει κατὰ νεστόριον, καὶ ἐκ παρθένου γεγεννῆσθαι, ἅγιον δὲ ὑπὲρ πάντας ἀνθρώπους, καὶ σοφὸν, καὶ προφήτην μείζονα πάντων τῶν προφητῶν. καὶ ῥητῶς ὑπὲρ ἄνθρωπον τοῦτον καλεῖ, θεὸν δὲ καὶ θεοῦ υἱὸν οὐδαμῶς. ἐπεὶ γοῦν ἡ πᾶσα πραγματεία τῆς τε πρώτης καὶ δευτέρας καὶ τρίτης ἀπολογίας τοῦτό ἐστιν, ἵνα δειχθῇ, ὅπως ὁ χριστὸς θεὸς καὶ θεοῦ υἱός ἐστι, καὶ ὅπως θεὸς ὢν ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν λαβὼν ἐκ τῆς ἁγίας παρθένου σάρκα, ἐγένετο τέλειος ἄνθρωπος, ὥσπερ καὶ τέλειος θεός, περιττὸν καὶ περιέλκον δοκεῖ, ἵνα καὶ αὖθις τὰ αὐτὰ ἐπιχειρῶμεν. ἐκεῖσε γὰρ τρανῶς ἀποδέδεικται ὁ χριστὸς θεός τε καὶ ἄνθρωπος.

Ἔτι φησὶν ὁ μωάμεθ, μὴ ὑπὸ τῶν ἰουδαίων τὸν χριστὸν ἀναιρεθῆναι, μήτε σταυρωθῆναι, ἀλλά τινα ἕτερον ἐκείνῳ ὅμοιον, καὶ κατὰ φαντασίαν ἐδόκει τὸν χριστὸν ἐσταυρῶσθαι, μανιχαίοις ἀκολουθῶν. ὥσπερ γὰρ ἀσυδιάζων εὑρίσκεται πεῖσαι πάντα ἄνθρωπον, ὅτε θεὸν, οὔτε θεοῦ υἱὸν

δέξασθαι

δεῖξαι τὸν χριστόν, οὕτω καὶ πάσῃ δυνάμει σπουδάζει, ἵνα καὶ τὴν ἔνσαρκον τούτου οἰκονομίαν ἀνατρέψῃ, ἀλλὰ καὶ τὸν ἐκείνου θάνατον. ἡμεῖς γοῦν καὶ περὶ τούτου εἴπομεν ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ, καὶ ἀπεδείξαμεν διὰ πολλῶν ἐπιχειρημάτων καὶ ἀποδείξεων, ὅπως ὁ χριστὸς θεὸς καὶ θεοῦ υἱὸς καὶ τέλειος ἄνθρωπος ἀν[απο]δείκνυται. ἀλλ' ὅμως καὶ κατὰ τὸ παρὸν λέγομεν οὕτως, ὅτι ὁ ἄνθρωπος εἰκὼν ὢν τοῦ θεοῦ κατὰ χάριν, φθόνῳ διαβόλου τὴν ἐντολὴν τοῦ θεοῦ παραβάς, ἔλαβε κατάραν [ἀπὸ τοῦ θ]εοῦ, καὶ ἐξεβλήθη τοῦ παραδείσου, καὶ τὸν θάνατον ἐκληρώσατο. ὁ δὲ υἱὸς τοῦ θεοῦ, εἰκὼν αὐτοῦ δὴ τοῦ θεοῦ κατὰ φύσιν ὑπάρχων, ἐνεδύσατο τὴν κατὰ χάριν [εἰ]κόνα, τουτέστι τὴν ἀνθρωπείαν φύσιν, καὶ ἔσωσεν αὐτήν, καὶ εἰς τὴν ἀρχαίαν μακαριότη[τα] αὖθις ἀνήγαγεν. ἔτι, ὥσπερ τὰ τοῦ νοῦ κινήματα ὁ λόγος διὰ τῆς γλώσσης δῆλα ποιεῖ, [ο]ὕτω καὶ ὁ λόγος τοῦ θεοῦ καὶ πατρὸς διὰ τῆς σαρκὸς ἐδήλωσε τὰ τοῦ ἰδίου πατρὸς βουλήματα, καὶ τὴν αὐτοῦ θεότητα. ἔτι, ὥσπερ βασιλέως εἰς ἓν οἴκημα οἰκ[ήσ]αντος πόλεως μυριάνδρου. τότε δὴ πᾶσα ἡ πόλις φοβερὰ γίνεται τοῖς ὑπεναντίοις, οὕτω τοῦ χριστοῦ ἐν ἑνὶ σώματι οἰκήσαντος, πᾶσα φύσις ἀνθρώπων φοβερὰ τῷ διαβόλῳ ἐγένετο. καὶ δῆλον ἀπό τε τ[ῶν μαρ]τύρων, ἀπό τε τῶν ὁσίων, ὅτι τὸν μὲν θάνατον αὐτοὶ οὐδενός, καὶ ὡς [οὐδὲν] αὐτὸν ἐλογίσαντο, τοῖς δὲ δαίμοσιν ἐπέταττον, καὶ ἅπερ δούλοις αὐτῶν. ὥσ[περ] γοῦν κρύπτειν πειρᾶται τὸ τὸν χριστὸν [θε]ὸν καὶ θεοῦ υἱὸν εἶναι, οὕτω καὶ τὴν ἔνσαρκον αὐτοῦ οἰκονομίαν, ἀλλὰ δὴ καὶ τὸν θάνατον καὶ τὴν ἀνάστασιν. καὶ τοῦτο λέγει μὴ ἐσταυρῶσθαι, ἀλλὰ τοῦτο ἐστὶ ψεῦδος σαφές. καὶ πρῶτον, ὅτι εἴπερ οὐκ [ἐσ]ταυρώθη, τὴν χάριν [ἐκ]λαλ[ήσ]αντο οἱ χριστιανοὶ κατὰ τοῦ χριστοῦ [πρᾶ]γμα ἐφύβριστον. τὸν γὰρ διὰ σταυροῦ θάνατον ἄτιμον καὶ ἄδοξον ἐλογίζοντο, καὶ διὰ τοῦτο κατέκριναν τὸν χριστὸν τὸν κύριον τῆς δόξης οἱ τάλανες ἰουδαῖοι, τὸν [..]οῦτον θάνατον. ἀλλὰ γνώτωσαν, ὅτι διὰ τοῦ, τοῦ σταυροῦ τροπαίου, καὶ διὰ τοῦ σωτηρίου [θα]νάτου, ἅτινα καὶ ἀσθένεια θεοῦ καλοῦνται, κατελύθησαν πᾶσαι αἱ πονηραὶ κ[αὶ] ἀντικείμεναι δυνάμεις, διὰ τοῦ σταυροῦ τὸ σκότος τῆς οἰκουμένης ἀπήλασε, τὸ δὲ [...] γνώσεως ἐπανή[γαγ]ε, διὰ τοῦ σταυροῦ καὶ τοῦ θανάτου αὐτοῦ κατελύθη ὁ θάνατ[ος], καὶ οὐκ ἔτι ἐστὶ θάνατος, καὶ ἡ [τυ]ραννὶς τοῦ διαβόλου. καὶ τὸ μὲν σῶμα τοῦ χριστοῦ ἀπέθανε, καὶ ἐτάφη, καὶ ἀνέστη, ἡ δὲ θεότης αὐτοῦ ἀπαθὴς διέμεινεν. ὥσπερ γὰρ βασιλέως λόγος ἐν χάρτῃ καταγραφείς, εἴπερ ὁ χάρτης διαφθαρῇ, ὁ τοῦ βασιλέως λόγος ἄφθαρτος διαμένει, οὕτω καὶ ἐπὶ τοῦ χριστοῦ, τὸ μὲν σῶμα ἐκείνου καὶ φθορὰν ἐδέξατο, καὶ ἀπέθανε, διαφθορὰν δὲ οὐδαμῶς· ἡ δὲ θεότης αὐτοῦ ἀπαθὴς διέμεινεν, οὐδὲ γὰρ πάσχει θεός. δεύτερον, ὅτι καὶ αὐτοὶ οἱ [ἰου]δαῖοι πάντων μαρτυροῦντες εἰσὶ τὸν τοῦ χριστοῦ θάνατον. ὡς γὰρ κακοῦργον λέγ[ουσ]ιν ἀποκτεῖναι αὐτόν. τρίτον, ὅτι οὐκ ἐν κρυφῇ ἀπέθανεν οὐδ' ἐν παραβύστῳ καὶ γωνίᾳ, ἵνα κρυβῇ ὁ θάνατος αὐτοῦ. σὺν ἧ τῷ θανάτῳ καὶ ἡ τούτου ἀνάστασις. ἀλλὰ κατὰ θείαν οἰκονομίαν ἐν τῷ καιρῷ τοῦ πάσχα ἐγένετο ὁ τοῦ κυρίου θάνατος, ἵνα κατὰ τὸ εἰωθὸς συναθροισθῇ τὸ πλῆθος τῶν ἰουδαίων, ἤτοι τὸ δωδεκάφυλον, καὶ γένηται πᾶσι δῆλος ὁ τοῦ χριστοῦ θάνατος, καὶ οὐκ ἔχωσι χώραν οἱ βουλόμενοι κρύπτειν τὸν τοῦ σωτῆρος θάνατον, [ὡ]ς κατὰ τὸ πρὸν ὁ μωάμεθ. τέταρτον, ὅτι οὐκ ἀπέθανε θάνατον φυσικόν, ἀλλὰ τοῖς ἰουδαίοις ἐπέτρεψε τὸν ἐκείνου θάνατον. καθάπερ τις παλαιστὴς γενναῖος, οὐκ αὐτὸς ἐκεῖ[νο]ς ἐκλέγεται τὸν ἀνταγω[νιστ]ὴν αὐτοῦ καὶ ἀντίπαλον, ἀλλ' ὡς α[ὐτὸ]ς βούληται τούτῳ συμπλέκεται, οὕτω καὶ ὁ χριστός, ὃς ἀπὸ λόγου μόνου ῥίψας εἰς γῆν τοὺς ζητοῦντας αὐτόν, τὴν ἐξουσίαν πᾶσαν τοῖς ἰουδαίοις ἀφῆκε. καὶ αὐτοὶ οἱ ἰουδαῖοι ἐξελέξαντο τὸν διὰ σταυροῦ θάνατον, ἀγνοοῦντες οἱ τάλανες, ὅτι καὶ αὐτὸς ὁ θάνατος ἔ[μφ]ασιν τινὰ προφητείας ἐπλήρωσεν. ὁ γὰρ δαβὶδ φησί, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. τί δηλούσης τῆς προφητείας; πάντως οὐδὲν ἕτερον, ἢ ὅτι, ὥσπερ ἡ γωνία τοὺς δύο τοίχους ἑνοῖ καὶ συνδεῖ, καὶ ποιεῖ ἕν, οὕτω καὶ ὁ χριστός, ὃς πέτρα ὠνομάσθη παρὰ τῆς γραφῆς, ὅν τινα λίθον ἀπεδοκίμασαν, καὶ ὡς [ἀν]ωφελῆ καὶ ἄχρηστον ἔρριψαν οἱ οἰκοδομοῦντες ἰουδαῖοι, οἵτινες ἐνεπιστεύθησαν τὸ[ν] [τοῦ] θεοῦ λόγι[ον εἰ]ς οἰκοδομὴν καὶ σω[..]νείαν τοῦ γένους αὐτῶν, οὗτος ἤγουν ὁ χριστὸς ἐγενήθη εἰς κεφαλὴν γωνίας, τουτέστι συνῆψε τήν τε παλαιὰν διαθήκην, καὶ τὰ ἔθνη, καὶ ἑνώσας τὰ δύο, ἕνα οἶκον ἐποίησεν εἰς κατοικητήριον θεοῦ. καὶ τείνας τὰς χεῖρας

ἐν τῷ σταυρῷ, τὰ διεστῶτα συνήγαγε, καὶ εἰς ἕνα καινὸν ἄνθρωπον, καὶ μίαν πίστιν ἀπηρτίσεν. ἀλλὰ καὶ τὸν ἀέρα, ὃν ἐκεῖνος ὁ ἄρχων τοῦ ἀέρος διάβολος ἐμίανε, τότε ὁ χριστὸς ἡγίασε, διὰ τὸ ἀναβεβηκέναι αὐτὸν εἰς τὸ τοῦ σταυροῦ ὕψος. εἴποι δ᾽ αὖθις καὶ τοῦτο, ὅτι οὐκ ἀπέθανεν ὁ χριστὸς τόν τε ἰωάννου θάνατον, ἢ τὸν ἡσαΐου, οἵτινες ὁ μὲν ἐτμήθη τὴν κεφαλήν, ὁ δὲ ἐπρίσθη μέσον ξυλίνῳ πρίονι, ἀλλὰ σῶον ἔχων τὸ σῶμα, διδασκαλίαν ἀφείς, ὅτι ἐπεὶ σῶμα χριστοῦ ἡ ἐκκλησία ἐστὶν, οὐκ ἔστι δίκαιον, ἵνα σχίζωσιν αὐτὴν οἱ κακῶς φρονοῦντες.

ζ Ἔτι φησὶν, ὅτι τὸν χριστὸν ὁ θεὸς εἰς ἑαυτὸν μετεκαλέσατο, τουτέστιν εἰς τοὺς οὐρανούς. περὶ δὲ τὰ τέλη τοῦ κόσμου πάλιν φανήσεται, καὶ θανατώσει τὸν ἀντίχριστον, μετὰ δὲ ταῦτα θανεῖν καὶ τὸν χριστὸν, τοῖς αἱρετικοῖς δονατισταῖς συμφωνῶν, καὶ ταύτῃ τῇ αἱρέσει, τὸ ὁμολογεῖσθαι χριστὸν τὸν θεὸν ἀνατρέπει. ὅτι μὲν γὰρ ἀνελήφθη εἰς τοὺς οὐρανοὺς ὁ χριστὸς, ὁμολογεῖ. καὶ ὅτι πάλιν ἐλεύσεσθαι μέλλει, οὐκ ἀρνεῖται. ὅτι δὲ ὡς θεὸς καὶ κριτὴς πάσης κτίσεως, ἀποβάλλεται. ἀλλ᾽ ὡς ἠλίαν ἢ ἐνώχ, οὕτω κηρύττει τὸν χριστὸν ἐλεύσεσθαι. ἀρνούμενος δὲ καὶ τὸν ἐκείνου θάνατον, λέγει, ὅτι μετὰ τὸ θανατῶσαι τὸν ἀντίχριστον, καὶ αὐτὸν τὸν χριστὸν ἀποθανεῖν. ἀλλ᾽ ἐπεὶ πολλάκις καὶ διαφόρως ἐμπροσθεν περὶ τοῦ χριστοῦ εἴπομεν, ἀπόχρη τὰ λεγόμενα εἰς ἀνασκευὴν, καὶ κατάλυσιν καὶ τοῦτο τοῦ ἀσεβήματος. καὶ περὶ μὲν τοῦ χριστοῦ ταῦτα εἰσὶ τὰ παρὰ τοῦ μωαμὲθ λεχθέντα.

η Περὶ δὲ τῆς ἁγίας μαρίας τῆς παρθένου καὶ θεοτόκου οὑτωσί φησιν, ὅτι οἱ χριστιανοὶ θεοποιοῦσιν αὐτήν. ἐπεὶ γοῦν καὶ περὶ τοῦ τοιούτου ἀτοπήματος ἀρκετῶς εἰρήκαμεν ἐν τῇ τρίτῃ ἀπολογίᾳ, πλέον οὐ λέγομεν. ἀρκετὰ καὶ γάρ εἰσι τὰ ῥηθέντα. Ἔτι ἐν τῷ κεφαλαίῳ τοῦ ἀμρὰμ λέγει περὶ τῆς ἀειπαρθένου ἁγίας μαρίας τῆς θεοτόκου, ὅτι θυγάτηρ ἐστὶ τοῦ ἀμρὰμ, ὃς ἐστὶ πατὴρ τοῦ προφήτου μωϋσέως καὶ τοῦ ἀαρὼν, ὡς καὶ ἐν τῷ κεφαλαίῳ τοῦ μαριὰμ, ὅπερ ἑρμηνεύεται μαρία, διαῤῥήδην φησὶν, ὅτι ἡ τοῦ χριστοῦ μήτηρ μαρία ἀδελφὴ ἦν τοῦ τε ἀαρὼν καὶ μωσέως. καὶ ὅτι μὲν ὁ ἀμρὰμ πατὴρ ἦν μωϋσέως καὶ ἀαρὼν, οὕτως ἐστὶν ἡ ἀλήθεια. τίνος δὲ ἐστὶν ἡ θεοτόκος θυγάτηρ, καὶ πότε ἐγεννήθη, τοῖς πᾶσι φανερόν. τοῦ γὰρ μωσέως ἀδελφὴ ἡ μαρία ἐν τῇ ἐρήμῳ ἀπέθανε. μετὰ δὲ χρόνους χιλίους πεντακοσίους ἐγεννήθη ἡ ἁγία θεοτόκος. οὕτω παραφυλάττει ὁ μάταιος τὴν πᾶσαν ἀλήθειαν ἐν ὅλῳ τῷ αὐτοῦ συγγράμματι.

# ΚΑΤΑ ΤΟΥ ΜΩΑΜΕΘ

## ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

ΑΣΕΒΗΣ εἰς βάθος κακῶν ἐμπεσὼν καταφρονεῖ, φησὶν ὁ θαυμάσιος σολομών. καὶ τίς ἀσεβέστερος μωαμέθ; ποῖον δὲ βάθος κακῶν, μᾶλλον δὲ σκότος, εἰς ὃ οὐκ ἐνέπεσεν ὁ δύστηνος οὗτος; καὶ γὰρ μετὰ τῶν ἄλλων πλασμάτων καὶ τεράτων ψευδῶν, ἐπλάσατο καὶ τὴν παροῦσαν ἄθεσμον θεωρίαν, ἔχουσαν ἐπὶ λέξεως οὕτως.

α Ἐν τῷ κεφαλαίῳ τῶν υἱῶν ἰσραὴλ, αἶνος τῷ ποιήσαντι διελθεῖν τὸν δοῦλον αὐτοῦ ἐν μιᾷ νυκτὶ ἀπὸ τοῦ εὐκτηρίου τοῦ ἐλαράμ, ὅ ἐστιν οἶκος μακκὲ, μέχρι τοῦ πορρωτάτου εὐκτηρίου, ὅ ἐστιν οἶκος ἅγιος ἱερουσαλὴμ, ὃν εὐλογήσαμεν, ὁ μαχούμετ ἐν μιᾷ τῶν ἡμερῶν, μετὰ τὸ ψάλλειν αὐτὸν τὴν ἑωθινὴν ὥραν αὐτοῦ, εἶπε τοῖς ἀνθρώποις, ὦ ὑμεῖς ἄνθρωποι κατανοήσατε, χθὲς μετὰ τὸ διαστῆναί με ὑμῶν, ἦλθε πρός με ὁ γαβριὴλ μετὰ τὴν ἐσχάτην ἑσπερινὴν ψαλμῳδίαν, καὶ εἶπε πρός με, ὦ μωαμὲθ, ἐντέλλεταί σοι ὁ θεὸς ἐπισκέψασθαι αὐτόν. ὦ εἶπον, καὶ ποῦ αὐτὸν ἐπισκέψομαι; καὶ εἶπεν ὁ γαβριὴλ, ἐν τῷ τόπῳ ὅπου ἐστί. καὶ ἤγαγέ μοι κτῆνος μεῖζον μὲν ὄνου, ἔλαττον δὲ ἡμιόνου, καὶ τὸ ὄνομα αὐτοῦ ἐμπαράκ. καὶ εἶπέ μοι, ἀνάβαινε τούτῳ, καὶ ἔλαυνε μέχρι τοῦ οἴκου τοῦ ἁγίου. καὶ ὡς ἐφρόντιζον ἀναβαίνειν, ἔφυγε τὸ κτῆνος. καὶ εἶπεν αὐτῷ, ἵστασο ἀσφαλῶς, ὁ μαχούμετ γὰρ